μετρίως ὥστε καὶ πρὸς τοὺς ἐν νεφροῖς λίθους ἁρμόττειν μετρίως
καὶ τὰς σειρὰς ὑδέρων· περὶ ἀσάρου

ἄσαρον· ταύτης αἱ ῥίζαι χρήσιμοι· παραπλήσιαι μὲν ταῖς τοῦ ἀκόρου τὴν
δύναμιν· ἐστὶ τὰ πάντα δὲ μᾶλλον· ὥστε ἐξ ὧν ὑπὲρ ἐκείνου προεί-
ρηται καὶ περὶ τούτου χρὴ γινώσκειν· περὶ ἀσκληπιάδος

ἀσκληπιάς· ἐν τῷ τρίτῳ Διοσκουρίδης περὶ ταύτης τῆς πόας
ἔγραψεν· ἡμεῖς δ' οὐδέπω πεῖραν αὐτῆς ἔχομεν· περὶ ἀσπαλάθου

ἀσπάλαθος· καὶ καθαρτικὴν ἐστὶ δριμεῖς, ἅμα καὶ στυπτικῆς·
ἡ καθαρτικὴ δύναμις ἐξ ἀνομοιομερῶν δηλονότι σύγκειται· μετρίως
μὲν ἐξ αὐτοῦ τοῖς δριμέσι θερμαίνων· μετρίως δὲ τοῖς στύφουσι ψύ-
χων ὥστε ξηραίνειν κατ' ἄμφω· καὶ διὰ τοῦτο πρὸς τὰς ση-
πεδόνας, ἠρέμα μάλα χρήσιμος ὑπάρχει· περὶ ἀσπαράγου

ἀσπάραγος, πετραῖος ἢ μυακάνθιος· ῥυπτικῆς ἐστὶ δυνάμεως· οὐ
μὴν οὔτε θερμαίνει σαφῶς οὔτε ψύχει· ταῦτα τοι καὶ νεφρῶν καὶ
ἥπατος ἐμφρακτικὸς ὑπάρχει· καὶ μάλιστα ἡ ῥίζα τῆς βοτάνης
καὶ τὸ σπέρμα· ἡ μὲν δὴ καὶ ὀδονταλγίας ἰᾶται τῷ ξηραίνειν·
ὧν δὴ καὶ μάλιστα χρήζουσιν οἱ ὀδόντες· ἀθηναῖοι δὲ διὰ τοῦ φ
λέγουσιν ἀσφάραγον· περὶ ἀσπλήνου

ἄσπληνος· λεπτομερὴς μέν, οὐ μὴν θερμὴ τὴν δύναμιν ἡ πόα ταύ-
τ' ἄρα λίθους θρύπτει καὶ σπλῆνας τήκει·

ἀστράγαλος· θαμνίσκος ἐστὶ μικρὸς· ἔχων ῥίζας στυπτικάς· διὸ καὶ
τῶν ξηραινόντων ἐστὶν οὐ μετρίως, ὡς ἐπουλοῦν τὰ ἕλκη τὰ παλαιά·
καὶ κοιλίαν ἵστησι ῥευματιζομένην· εἴ τις ἀφεψήσας ἐν οἴνῳ
τὴν ῥίζαν πίνοι· πλεῖστος ὁ θάμνος ἐν φενεῷ τῆς ἀρκαδίας
γεννᾶται· περὶ ἀστέρος ἀττικοῦ

ἀστὴρ ἀττικός· οἱ δὲ βουβώνιον ὀνομάζουσιν· ὅτι μὴ μόνον ἐπι-
πλαττόμενον· ἀλλὰ καὶ περιαπτόμενον ἰᾶσθαι πεπίστευται βου-
βῶνας· ἔχει μέντοι καὶ διαφορητικόν· ἔστι δ' οὐχ ἧττον καὶ
ψυκτικόν τι καὶ ἀποκρουστικόν· ὥστε μικτῆς εἶναι δυνάμεως,
ὡς πρὸ ὀλίγου· ἀπ' οὐ συμφέρεται τούτῳ· περὶ ἀσταφίδος

ἀσταφίς· ἡ μὲν ἥμερος στυπτικῆς δυνάμεως καὶ συμπτικῆς καὶ διαφο-
ρητικῆς ἄρωμα μετὰ δυνάμεως ἡ δ' ἀγρία δριμείας ἰσχυρῶς·